Petit 288/2
X 1038

# ΠΛΗΡΗΣ ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

# ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΙΤΟΥ

## ΠΡΩΤΟΥ ΙΕΡΑΡΧΟΥ ΚΡΗΤΗΣ

ΑΠΑΡΤΙΣΘΕΙΣΑ

**ΧΑΡΙΝ ΤΗΣ ΕΠΙΣΗΜΟΥ ΕΟΡΤΗΣ ΤΗΣ ΕΝ ΚΡΗΤΗ ΕΚΚΛΗΣΙΑΣ**

ΚΑΙ ΚΑΤΑ ΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΙΑ΄ ΠΡΑΞΕΩΣ ΑΥΤΗΣ

ΥΠΟ

ΔΙΟΝΥΣΙΟΥ

**ΕΠΙΣΚΟΠΟΥ ΡΕΘΥΜΝΗΣ καὶ ΑΥΛΟΠΟΤΑΜΟΥ**

*Ταύτῃ προσετέθησαν δύο διατάξεις τῶν τελουμένων δοξολογιῶν τῇ 9 Δεκεμβρίου καὶ 23 Ἀπριλίου ἑκάστου ἔτους.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΧΑΝΙΟΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ "Η ΠΡΟΟΔΟΣ" Ε. Δ. ΦΡΑΝΤΖΕΣΚΑΚΗ

1901

# ΤΗι 25 ΑΥΓΟΥΣΤΟΥ

*Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου*

# ΤΙΤΟΥ

*καὶ Μνημόσυνα τῶν κατὰ τὴν ἡμέραν ταύτην*
*καὶ κατὰ καιροὺς ὑπὲρ Πίστεως καὶ Πατρίδος ἐν Κρήτῃ*
*σφαγιασθέντων, ὁλοκαυτωθέντων*
*καὶ πεσόντων ἀδελφῶν*

Ἑσπέρας μετὰ τὸν προοιμιακὸν α' στάσις τοῦ «Μακάριος ἀνήρ».
Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ'. καὶ ψάλλομεν
τὰ παρόντα προσόμοια

Ἦχος δ'.— Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἑστιάτωρ ἡμέτερος, τὸ τῆς πίστεως ἔρεισμα, καὶ δογμάτων πρόβολος ἱερώτατος, Τίτος ὁ Παύλου συνέκδημος, ἀντ' ὄψων προτίθεται, πανδαισίαν μυστικήν, ἑορτὴν τὴν ἐπέτειον. Ὅθεν ἅπαντες εὐγνωμόνως προσφέρωμεν τοὺς ὕμνους, τῷ φιλόπαιδι ἐκείνῳ, ὡς ὀφειλόμενον ὄφλημα.

Ἀδελφὸν καὶ ἀνάψυξιν, καὶ πηγὴν παρακλήσεως, ὁ ἐθνῶν Ἀπόστολος ἀπεκάλεσε, Τίτον, τὸ Κρήτης καλλώπισμα, δι' οὗ τὴν ἀλήθειαν, καὶ νοὸς τὸν φωτισμὸν, ἐκ Θεοῦ ἐνελάμφθημεν. Ὅθεν ἅπαντες, ἐξ ἀγρῶν ἀνθοβόλων τοὺς στεφάνους, κορυφῇ τῇ πανιέρῳ περιθήσομεν πλέξαντες.

Χαρμοσύνοις τοῖς ῥήμασι, φιλεόρτων τὸ σύστημα, καὶ Κρητῶν τὸ ἄθροισμα εὐφημήσωμεν, Παύλου τὸ μέγα κατόρ-

θωμα, καὶ πρῶτον ἀνάθημα τῆς πατρίδος πρὸς Χριστόν, καὶ Χριστοῦ καλλιέρημα, τὸν Ἀπόστολον, τὸν ρυσάμενον Κρήτην ἐκ δουλείας, τῶν εἰδώλων καὶ τυράννου, ταῖς πρὸς Τριάδα ἐντεύξεσιν.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Τίτος ὁ πανίερος πατήρ, ἔνθερμος ἱκέτης Κυρίῳ, σπεύδων προσέρχεται, σφάγια παμφίλτατα, καὶ αἷμα ἅγιον, προσκομίζων θερμότατον, ἐκ σπλάγχνων θυμάτων, ἃ κακουργῶν τύραννος, ἔθυσε σήμερον. Ταῦτα δὲ δεικνὺς τῷ Δεσπότῃ, ἵλεων εἰργάζετο τοῦτον εἰς ἐνεγκαμένης ἀπολύτρωσιν.

Ἴδε, ἀνεφώνει πρὸς Θεόν, οἵαν σοι θυσίαν προσφέρει καρτερικώτατα, Κρήτη ἡ ὀλέτειρα, ἐχθρῶν τῆς πίστεως, καὶ καμφθῆναί Σου δέεται, φιλάνθρωπα σπλάγχνα, κατανικῶν τύραννον, ὄντα δυσήττητον. Δέξαι τὰς ἐμοῦ ἱκεσίας, βράβευσον εἰρήνην τῇ ποίμνῃ, ἥν σοι τῷ κηρύγματι προσήγαγον.

Τίτε ἐδεξάμην τὴν εὐχήν, κράτος τοῦ ἐχθροῦ τερματίσας, εἶπεν ὁ Κύριος. Κρήτην δὲ λυτρούμενος, σταυροῦ τὸ τύπωμα, πολιτείας τὸ ἔμβλημα, κατέστησα πάλιν, ὑποδηλοῦν πλήρωσιν πόθων τὴν μέλλουσαν. Ὅθεν συνετῶς καὶ ὁσίως τρέχοντες τὸν δρόμον τὸν νέον, τῶν στεφανωμάτων ἐπιτεύξονται.

*Δόξα πλ. α'.*

Συνήχθησαν οἱ στάχεις δεῦτε εὐωχηθῶμεν. Ὡρίμασαν τῆς ἀμπέλου αἱ σταφυλαὶ δεῦτε εὐφρανθῶμεν. Ἡ τοῦ Ἱεράρχου μνήμη, τῶν Κρητῶν φαιδρύνει τὰς ὁμηγύρεις, αὐτῇ δὲ ἥνωνται σμῆνος τῶν Χριστοῦ θυμάτων ἱερώτατον. Σήμερον γὰρ ἑορτῆς ἀγομένης, τοῦ Κρήτης λαμπτῆρος θείου Τίτου, ληνὸν κατειργάσαντο, τὸ τερπνὸν Ἡράκλειον, τὰ στίφη τῶν βαρβάρων ἐχθρῶν, καὶ ἔρρεον ὡς γλεῦκος τὰ αἵματα



τῶν ἀδελφῶν, ὀσμὴ σαρκῶν καιομένων δέ, τὴν θυσίαν Θεῷ ἐποίει εὐπρόσδεκτον. Αὐτοῖς ἀνάπαυσιν, σωτηρίαν δὲ ἅπασι, ταῖς ἱκεσίαις Τίτου, δώρησαι Χριστὲ ὁ Θεὸς ἡμῶν.

*Καὶ νῦν καὶ ἀεί.*

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Εἴσοδος. Φῶς ἱλαρόν.— Προκείμενον, καὶ τὰ Ἀναγνώσματα.

*Παροιμιῶν τὸ ἀνάγνωσμα.*

Ἀκούσατε παῖδες παιδείαν πατρός, καὶ προσέχετε γνῶναι ἔννοιαν. Δῶρον ἀγαθὸν δωροῦμαι ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε. Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός. Οἵ ἔλεγον καὶ ἐδίδασκόν με. Ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν· φύλασσε ἐντολὰς μὴ ἐπιλάθῃ. Ἄκουε υἱὲ καὶ δέξου ἐμοὺς λόγους, καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου. Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς· ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός, διεστραμμέναι δὲ εἰσὶν αἱ ἐξ ἀριστερῶν· αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου ἐν εἰρήνῃ προάξει.

*Παροιμιῶν τὸ ἀνάγνωσμα.*

Υἱὲ φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. Υἱὲ τίμα τὸν Κύριον καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον· φύλαξον ἐμὰς ἐντολὰς καὶ βιώσεις, τοὺς δὲ ἐμοὺς λόγους ὥσπερ κόρας ὀμμάτων. Περίθου δὲ αὐτοὺς σοῖς δακτύλοις ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί. Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου,

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗ ΠΑΠΑΣ...

στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον. Σοφὸς καρδίᾳ δέξεται ἐντολάς, ὁ δὲ ἄστεγος χείλεσι σκολιάζων ὑποσκελισθήσεται. Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς· ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ γνωσθήσεται.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη· καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐν αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἐκτενής. Καταξίωσον. Ἡ Πληρωτική.

Λιτή.

Ἀνδρέου Κρήτης στιχηρὰ ἰδιόμελα ἦχος α'.

Δεῦρο νῦν κοινωνὸν δείξω Παύλου τὸν Τίτον, καὶ συνεργὸν καὶ δόξαν Χριστοῦ καὶ Ἐκκλησιῶν Ἀπόστολον· συμπληρούτω δέ μοι Παῦλος αὐτός, Χριστοῦ τὸ στόμα, τοῦ λόγου τὴν σύμφρασιν, ἑνὸς κατὰ σύγκρισιν ἐπεξιών, οὓς αὐτῷ συναπέστειλεν εἰς διακονίαν, ἣν ἐπεπίστευτο. Εἴτε γὰρ ὑπὲρ Τίτου, φησί, κοινωνὸς ἐμός, καὶ εἰς ὑμᾶς συνεργός, εἴτε ἀδελφὸς ἡμῶν, Ἀπόστολος Ἐκκλησιῶν, δόξα Χριστοῦ. Ἀλλὰ πρέσβευε Κυρίῳ, Τίτε ἱερώτατε ὑπὲρ τῆς ποίμνης σου.



Ὁ αὐτὸς τοῦ αὐτοῦ

Σὺ εἶ, Τίτε, τὸ μέγα τῶν ἔργων Παύλου κατόρθωμα· τὸ καλὸν γεώργιον· τὸ περιώνυμον τῶν αὐτοῦ καυχημάτων καλλώπισμα· τὸ κράτιστον ἐκείνου πόνων συμπέρασμα. Σὺ νυμφαγωγὸς τῆς Ἐκκλησίας, ἕδνα νυμφικά, καὶ φερνὴν αὐτῇ προικοφορήσας, τὰ Κρήτης γεννήματα. Σὺ τῆς ἐνεγκαμένης ὁ πρῶτος ἀρχιποίμην καὶ πρόεδρος, μὴ παύσῃ ἀπὸ νομῶν εἰς νομὰς εἰσάγων τε καὶ ἐξάγων, καὶ πρὸς τὴν νοητὴν τῶν θείων πόσιν καθοδηγῶν τοὺς ἄρνας Χριστοῦ.

Ἦχος πλ. δ'. τοῦ αὐτοῦ

Ἰδοὺ καὶ πάλιν συνάγει ἡμᾶς Τίτος, ὁ πρῶτος τῆς εἰδωλομανίας ἀντίπαλος, καὶ τῆς Χριστοῦ θεοσοφίας ὑπέρμαχος, ὁ κατὰ τῶν προσκυνούντων τοὺς λίθους, λίθος προσκόμματος κείμενος, καὶ τὸν εἰς κεφαλὴν γωνίας, τῆς Ἐκκλησίας λίθον, Χριστόν, αὐτοῖς ὑποθέμενος. Τίτος τὸ θεόκτιστον τῆς Κρητῶν Ἐκκλησίας προπύργιον· ἡ ἀψευδὴς τῶν ἀδιστάκτως αὐτῷ προσιόντων ἀντίληψις, τὸ εὐπρεπὲς τῆς περὶ ἡμᾶς θείας κηδεμονίας προαύλιον, δι' οὗ τὴν ἀλήθειαν ἔγνωμεν, τὴν ζωὴν ἐσχήκαμεν, καὶ τὴν γνῶσιν ἐλάβομεν, Αὐτοῦ πρεσβείαις σῶσον Κύριε τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'. τοῦ αὐτοῦ

Σύ, Τίτε, ὁ καιόμενος λύχνος, καὶ ὑπὸ μοδίῳ κρύπτεσθαι μὴ δυνάμενος, ἀλλ' ἀφ' ὑψηλοῦ, τῇ χρυσαυγεῖ λυχνίᾳ τῆς Ἐκκλησίας τίθεσθαι· πρέσβευε τῷ ἀνεσπέρῳ φωτί, φωτίζειν τὰς ψυχὰς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα ἦχος δ'. τοῦ αὐτοῦ

Τίτε, μακάριε Πάτερ, τὸ μέγα τῆς Κρήτης καύχημα καὶ καλλώπισμα καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, καὶ τῆς ἄνω μυστολατρείας, καὶ τῶν θείων ὑφηγητά, δέχου πρὸς ἡμῶν, οἷόν τι Σειρήνιον μέλος, τὸν ἐφύμνιον λόγον, καὶ τραυλίζειν ἐθέλουσι, φιλόστοργος ὤν, ἥδιστα παράβαλε σὸν οὖς, ἡμετέροις λόγοις· φίλα γὰρ πατράσι τὰ τῶν τέκνων ψελλίσματα, καὶ σαῖς πατρικαῖς ἱκεσίαις σῶζε τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια· ἦχος δ'.

Ὁ ἐξ Ὑψίστου κληθείς.

Ἀνευφημοῦσι Κρητῶν οἱ δῆμοι πάντες, Σοῦ τὴν πανασίδιμον μνήμην Ἀπόστολε, ὡς εὐπρεπὴς γὰρ ἐξέλαμψε, καὶ φωτοφόρος, πεποικιλμένη σφαγίων τάγμασι, ὅθεν καὶ σκιρτῶσι νῦν ἀγγέλων σύστημα, ἐπικροτοῦσι δὲ Μάρτυρες, σὺν Ἀποστόλοις, τῶν σῶν ἀγώνων Τίτε τὰ ἔπαθλα, καὶ ἀνυμνοῦσι τὸν δοξάσαντά σε, Σωτῆρα Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν

Στιχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ἐσφραγισμένοι Σωτῆρος τῇ σφραγῖδι, εὑρέθητε ἅπαντες πρὸ τῶν σφαγέων ὑμῶν· καὶ τῶν ἀπίστων ἡ μάχαιρα, θανατηφόρος, πρὸς δὲ πυρβόλοι σφαῖραι καὶ πύραυνα, πάντα συντυχάνοντα χαμαὶ κατέρριπτον, καὶ πρὸς τὰ ἄνω ἀπέπεμπον, μετὰ βασάνων, τὰ τῶν θυμάτων πνεύματα ἅγια, ἃ ἀνευρόντα, τὸν ἀρχίθρονον πολιοῦχον Κρητῶν καὶ θύτην θεοῦ, Τίτον, δέονται τούτου τοῦ πατρίδα σωθῆναι ἡμῶν.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Διακηρύξας Χριστοῦ τὴν θείαν πίστιν, ἐγένου ἀρχίθρονος



τῆς Ἐκκλησίας Κρητῶν· καὶ κατὰ πόλιν κατέστησας, ἱερωσύνην, καθάπερ Παῦλός σοι διετάξατο. Ὅθεν τὴν ὑπέρλαμπρον μνήμην σου ἄνθεσι πνευματικοῖς καταστέφομεν, εὐγνωμονοῦντες ἐφ' οἷς εἰργάσω Τίτε Ἀπόστολε. Ἀλλ' ὡς τῷ θρόνῳ παριστάμενος, λαμπροφόρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθικέτευε σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος β'.

Τὴν ἱερὰν ἐπέτειον, τοῦ προστάτου τῆς ἡμῶν Ἐκκλησίας ἑορτάζοντες μνημόσυνα τῶν πατέρων τελέσωμεν, τούτους γὰρ Χριστῷ λατρεύοντας, ἐχάλκευσαν κίνδυνοι, καὶ ἐστόμωσαν βάσανοι, καὶ ποικίλαι κολάσεις ἀνήλωσαν σώματα φύσει φθειρόμενα. Ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν διὰ θανάτου πείθων τοὺς ἐραστάς, διαβῆναι πρὸς τὸν ποθούμενον Χριστὸν τὸν Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν καὶ ἀεί. Ὢ θαύματος καινοῦ, πάντων τῶν . . .

Νῦν ἀπολύεις — Τρισάγιον

Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀποστόλων φαινόλην περιβαλλόμενος, καὶ μαρτύρων χορείαις περικυκλούμενος, τῷ Δεσπότῃ Σου Χριστῷ, Τίτε παρίστασαι, ποιμενάρχα ἱερέ, πολιοῦχε τῶν Κρητῶν, Αὐτῷ δ' οὐ παύῃ πρεσβεύων, ὑπὲρ ἡμῶν οὓς ἐρρύσω, ἐκ τῶν χειρῶν τοῦ ἀλάστορος.

Καὶ νῦν Θεοτοκίον. Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος

Μεθ' ὃ ἐξέρχεται ὁ ἱερεὺς ἐκ τοῦ ἱεροῦ βήματος κρατῶν θυμιατήριον. Ψάλλονται τὰ τροπάρια τοῦ Νεκρωσίμου τρισαγίου, ἤτοι Μετὰ πνευμάτων δικαίων κ.τ.λ. καὶ ὁ ἱερεὺς εὔχεται·

Ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν πάντων τὸ διὰ τὸ εὐλογητὸν ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὑπὲρ πα-

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τρίδος κατά τε τὴν ἡμέραν ταύτην καὶ κατὰ διαφόρους καιροὺς κατὰ γῆν καὶ θάλασσαν ἐν ἁπάσῃ τῇ νήσῳ σφαγιασθέντων, φονευθέντων, ὁλοκαυτωθέντων, ἐν βασάνοις καὶ διωγμοῖς πρὸς Κύριον μεταστάντων, καὶ πεσόντων ἀδελφῶν ἡμῶν.

καὶ Ἀπόλυσις.

---

# ΟΡΘΡΟΣ

---

Ἐν τῷ Ὄρθρῳ μετὰ τὸ Θεὸς Κύριος. Τὰ ἀπολυτίκια

Μετὰ τὴν α'. στιχολογίαν Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὴν μνήμην τὴν σεπτήν, Ἱεράρχου τιμῶντες, τὴν αἴνεσιν Χριστῷ ἀναπέμψωμεν πάντες, καὶ Τίτον εὐφημήσωμεν, τὸ πατρίδος καλλώπισμα, καὶ ἐντρύφημα, καὶ φωτοφόρον λυχνίαν· κλῆμα βότρυας τοὺς λογικοὺς νῦν περκάζον, τοῦ θείου κηρύγματος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ δὲ τὴν β'. στιχολογίαν.

Ἦχος γ'. Θείας πίστεως.

Τίτος σήμερον, ὁ θεοκήρυξ, συγκαλούμενος τὰς ὁμηγύρεις, ἃς τῷ λόγῳ Κυρίῳ προσήρμοσε, πάντας προτρέπεται,



βίον ἅγιον, καὶ πολιτείαν διάγειν θεάρεστον, οὗτος στέφανος Χριστῷ τῷ Θεῷ ἐράσμιος, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπίσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν πολυέλαιον κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Διασπείρας ἐν ἡμῖν, σπόρον τῶν θείων ἐντολῶν, διοργανώσας ἡμᾶς, κατὰ κανόνα εὐσεβῆ, ἀντικτησάμενος φοίνικα Χριστοῦ καὶ κλέος. Ὅθεν γεγηθὼς πρὸς ἀγῶνας καλεῖς, καὶ πόνους ἀρετῆς, Τίτε Ἀπόστολε, πνευματικῇ τῇ σύριγγι τοῦ λόγου, τὰ λογικὰ Χριστοῦ θρέμματα, τῆς Βασιλείας αὐτῶν μετόχους, ποιῆσαι τούτους δεόμενος.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγησαν Ἁγνή, πάντες ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχήν, ὁ προαιώνιος, καὶ γαλουχεῖται, σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι; καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Οἱ ἀναβαθμοί. Τὸ πρῶτον ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον ἦχος δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Πᾶσα πνοή. Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. (Ἴδε Κυριακὴν τῶν Ἁγίων Πατέρων). Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀποστόλου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐλέησόν με ὁ Θεός. ἦχος β'.

Σύ, Τίτε, ὁ καιόμενος λύχνος, καὶ ὑπὸ μοδίῳ κρύπτεσθαι μὴ δυνάμενος, ἀλλ' ἀφ' ὑψηλοῦ, τῇ χρυσαυγεῖ λυχνίᾳ τῆς Ἐκκλησίας τίθεσθαι. Πρέσβευε τῷ ἀνεσπέρῳ φωτί, φωτίζειν τὰς ψυχὰς ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.λ.π.

Ὁ κανὼν τοῦ Ἁγίου Τίτου, οὗ ἡ ἀκροστιχίς.

Παύλου μαθητὴν Τίτον ὑμνῶ προφρόνως.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Παντοίοις χαρίσμασι, καταπλουτίσασα χάρις σε, τοῦ Πνεύματος κήρυκα θεῖον Ἀπόστολον, εἰς τὰ πέρατα κηρύττοντα ἐκπέμπει, τοῦ Λόγου τὴν σάρκωσιν, Τίτε ἀοίδιμε.

Αὐγὴν θείας χάριτος, εἰσδεδεγμένος ἐξήστραψας, ὡς ἥλιος Πάνσοφε, ταῖς ἐν τῷ σκότει ψυχαῖς· ἃς ἐφώτισας, ἐξαίρων ἁμαρτίας, δουλείας λυτρούμενος, πλάνης μακάριε.

Ὑπάρχων ἀνάπλεως, τῶν χαρισμάτων τοῦ Πνεύματος, ὁ Παῦλος ὁ πάνσοφος σὲ προχειρίζεται, καὶ διάκονον, καὶ θεῖον ὑποφήτην, καὶ πίστεως κήρυκα, Τίτε θεσπέσιε.

Θεοτοκίον.

Λυτρούμενος ἔλαμψε, σοῦ ἐκ νηδύος ὁ Κύριος, τοῦ κόσμου τὰ πέρατα, πλάνης θεόνυμφε· ὃν ἱκέτευε, καὶ πάντοτε δυσώπει, σωθῆναι τοὺς πίστει σε, Κόρη γεραίροντας.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Οὐκ ἐν σοφίᾳ, μωραινούσῃ αὐτῇ τοὺς προσέχοντας, ἀλλὰ γνώσει ἀληθεῖ, τὴν ἀγνωσίαν Μακάριε, ψυχῶν ἀπεδίωξας, τῶν προστρεχόντων σοι.

Ὑλομανοῦσαν, ἀθείας ἀκάνθαις τὴν ἄρουραν, παγκληρίας



τῶν ἐθνῶν, δρεπάνῃ θείᾳ ἐκάθηρας, γνώσεως τὰ σπέρματα, καταβαλλόμενος.

Μίαν κηρύττων, ἐν τρισί, τοῖς προσώποις θεότητα, ἀπεδίωξας ἀχλύν, πολυθείας Μακάριε, θείαν πρὸς ἐπίγνωσιν, ἄγων τὰ πέρατα.

Θεοτοκίον.

Ἁγιωτέραν, τῶν Ἀγγέλων καὶ πάσης τῆς κτίσεως, ἀνωτέραν ὁ ἐκ σοῦ, σαρκὶ τεχθείς σε εἰργάσατο· ὅθεν σε ὡς Δέσποιναν, πάντων γεραίρομεν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους

Κάθισμα ἦχος πλ. δ'. Τὴν Σοφίαν.

Ὥσπερ ἄστρον ἡλίῳ συμπορευθείς, παναοίδιμε Τίτε Παύλῳ σαφῶς, τὴν γῆν ἐφωτίσατε, καὶ τὸ σκότος ἐλύσατε· ἐν τῇ Κρητῶν δὲ νήσῳ, εἰσδήσας μακάριε, διὰ θανάτου πᾶσιν, ἀδύτους κατέλιπες, θείας ὡς ἀκτῖνας, τοὺς σοὺς πόνους καὶ λόγους· ὑφ' ὧν ἐλλαμπόμενοι, εὐσεβῶς τε γεραίρομεν, καὶ συμφώνως βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλικὴ κλίνη πορφυρόστρωτε· χρυσοπόρφυρε θάλαμε· χλαμὺς ἁλουργόχροε· τιμαλφέστατον τέμενος· ἀστραπηφόρον ἅρμα· λυχνία πωλύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς μου διάσωσμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν τῆς ἐκ τῆς Παρθένου.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Θησαυρῶν ἐξ ἀκενώτων, ἀρυόμενος πάνσοφε, πενομένας φρένας, πλούτου ἀληθείας ἐνέπλησας, νενεκρωμένας, καρδίας ἀνεζώωσας, ἀγνωσίας, διώκων ἀχλὺν παναοίδιμε.

Ἡ τοῦ Παύλου σε σαγήνη, τῇ προνοίᾳ τῆς χάριτος, σαγηνεύει Τίτε, μέλλοντα προθύμως εἰς ὕστερον, σοῦ τῷ ἀγκίστρῳ τοῦ λόγου ἔθνη πάμπολλα ἀνελκύσειν ἀπάτης βυθοῦ πρὸς εὐσέβειαν.

Τῷ κλεινῷ ὥσπερ ἀρνίον, θείῳ Παύλῳ ἑπόμενος, τοὺς βαρεῖς ἐκ μέσου λύκους Θεηγόρε ἀπήλασας· τὰ τῶν εἰδώλων τεμένη κατηδάφισας, καὶ ναοὺς Θεοῦ, τοὺς γηγενεῖς ἀπετέλεσας.

Θεοτοκίον.

Ἡ Ἁγία Θεοτόκος, ἡ σκηνὴ ἡ ἀμόλυντος, τοῦ φωτὸς ἡ πύλη, τράπεζα καὶ στάμνος ἡ πάγχρυσος, τὸ ἀλατόμητον ὄρος καὶ κατάσκιον, ὡς χωρήσασα, τὸν Πλαστουργὸν μακαρίζεται.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται

Νεμομένην ἔστησας, κακίας τὴν πληγήν, τῶν ἐθνῶν Τίτε τὰς ψυχάς, τῷ νοστίμῳ ἅλατι, τῶν θείων λόγων σου, ἰατρὸς ὡς ἄριστος, ὡς τῆς χάριτος διάκονος.

Ταῖς τοῦ Παύλου νεύσεσιν, ὑπείκων εὐμενῶς, σὺν αὐτῷ τὴν ὑπ' οὐρανόν, διατρέχεις πάνσοφε, λόγον τῆς γνώσεως, εὐαγγελιζόμενος Θεοκήρυξ πανσεβάσμιε.

Ἰσουργὸν ὁμόθρονον, τὸν Λόγον τῷ Πατρί, ἐκδιδάσκων οἷα σοφός, Θεηγόρε ἔπεισας τοὺς ματαιόφρονας, τῶν εἰδώλων ἅπασαν, τὴν ἀπάτην ἀποκρούεσθαι.



Θεοτοκίον.

Τὴν ἁγνὴν ἁγνεύοντι, τιμήσωμεν νοΐ, καλλονὴν τὴν τοῦ Ἰακώβ· καὶ ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Ὠδὴ ϛ'. Θύσω σοι μετὰ φωνῆς

Ὁ Παῦλος, ὁ τοῦ κόσμου ἀνέσπερος ἥλιος, σὲ ὡς ἀκτῖνα ἐκπέμπει, φωτοβόλον Τίτε τὰς ἐν τῷ σκότει τῆς ἀγνοίας καθευδούσας καρδίας φωτίζουσαν.

Ναμάτων ζωηρρύτων ὑπάρχων ἀνάπλεως, ῥείθροις ἐνθέων δογμάτων, τοὺς χειμάρρους τῆς ἀγνωσίας, κατακλύζεις καταρδεύων Κρητῶν τὰ συστήματα.

Θεοτοκίον

Ὑμνοῦσι γενεαὶ γενεῶν σε πανύμνητε τὸν ὑπερύμνητον Λόγον τοῦ Θεοῦ γὰρ ἔτεκες ὑπὲρ λόγον· ὃν δοξάζει, καὶ βροτῶν καὶ ἀγγέλων τὰ τάγματα.

Καταβασία. Τὴν θείαν ταύτην

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τοῦ Παύλου δειχθεὶς, συνόμιλος Ἀπόστολε, σὺν τούτῳ ἡμῖν, τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος, μυστολέκτα Τίτε μακάριε· διὰ τοῦτο βοῶμέν σοι· Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος

Τὸν ἐπὶ γῆς ὀφθέντα Σωτῆρα καταγγείλας ἐν κόσμῳ, τῆς αὐτοῦ ἀψευδοῦς Θεότητος ἐχρημάτισας φίλος οἰκεῖος καὶ κληρονόμος· ὅθεν πίστει προσπίπτων, σὲ ἱκετεύω, ὅπως ταῖς σαῖς ἱκεσίαις παράσχῃς μοι ἄφεσιν, διώκων τὴν ἀχλυώδη

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

τῆς ψυχῆς μου σκοτόμαιναν ἔνδοξε, τοῦ ἐπαξίως ὑμνῆσαί σε, καὶ βοᾷν σοι ἀπαύστως Ἀπόστολε. Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

### Συναξάριον

Τῇ 25 τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Τίτου, πρώτου ἱεράρχου Κρήτης

Ἴτω παρ' ἡμῶν καὶ Τίτῳ βραχὺς τίτλος
Τούτου τελευτὴν τὴν ἐν εἰρήνῃ φέρει
Οὐράνιον δάπεδον λάχει εἰκάδι Τίτ' ἐνὶ πέμπτῃ.

Τίτος ὁ μακάριος, ἐκ Κρήτης ὁρμώμενος ἦν τοῦ ἀνθυπάτου τῆς νήσου συγγενής, ἐκ γένους ἐπιφανοῦς. Περιτυχὼν τῶν Μωσαϊκῶν βιβλίων, καὶ τὰ Ἑβραϊκὰ γράμματα μεμαθηκὼς πρόσεισι τῷ ἑαυτοῦ προσγενεῖ, καὶ πείθει τὴν ἐπὶ Ἱεροσόλυμα πράως αὐτῷ ἀνεῖναι πορείαν. Τάχιστα δὲ τὴν Ἰουδαίαν κατειληφώς, ὅτε σχεδὸν ἀρχὴν εἶχε τοῦ Εὐαγγελίου τὸ κήρυγμα, ἐγένετο πρῶτος τοῦ ὄντος ἐπὶ τὸ αὐτὸ «ὄχλον ὀνομάτων ὡσεὶ ἑκατὸν εἴκοσι» ὅτε ἡ τοῦ θείου Πνεύματος χάρις τοῖς Χριστοῦ μαθηταῖς ἐπεκάθισε, καὶ ἐπιστρεψάντων ἐπὶ Κύριον. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ Παῦλος τῆς Ἐκκλησίας ὁ μέγας ἐπέστη διδάσκαλος. Τότε Τίτος πᾶσι χαίρειν εἰπὼν πρόσεισι, αὐτῷ, καὶ γίνεται τῶν συνήθων καὶ γνωρίμων εἷς, καὶ μετ' οὐ πολὺ σύσσιτος καὶ ὁμόσκηνος, καὶ συνόμιλος αὐτῷ καὶ συνέκδημος ἐν τῷ τοῦ Εὐαγγελίου κηρύγματι. Παρίσταται μετὰ Παύλου ἐν τῇ Συνόδῳ τῇ Ἀποστολικῇ ἐν Ἱεροσολύμοις, καὶ μὴ δεξαμένου τοῦ Παύλου περιταμεῖν αὐτὸν γίνεται οὗτος τῆς καταργήσεως τῆς σαρκικῆς περιτομῆς ὁ πρῶτος ἐπιφανὴς εἰσηγητής. Εἶτα ἀποστέλλεται πρὸς Κορινθίους ὑπὸ τοῦ Παύλου ἵνα περὶ τῆς καρποφορίας τῆς πρὸς αὐτοὺς πρώτης ἐπιστολῆς αὐτοῦ βεβαιωθῇ, ἐπανελθὼν ἐκεῖθεν ἐντυγχάνει τῷ Παύλῳ ἐν Μακεδονίᾳ, καὶ χαίρων εὐαγγελίζεται αὐτῷ ἀγαθὰ περὶ τῆς ἐν Κορίνθῳ Ἐκκλησίας, παρέσχε δ' οὕτω ἀφορμὴν εἰς τὴν πρὸς Κορινθίους β'. ἐπιστολὴν τοῦ Παύλου.— Συνοδεύει εἶτα Παύλῳ εἰς Κρήτην, καὶ μένει ἐκεῖ ἐντεταλμένος ὑπὸ Παύλου ἵνα τὰ «λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃ κατὰ πόλιν πρεσβυτέρους» ὡς Παῦλος αὐτῷ διετάξατο· καὶ γίνεται οὕτω πρῶτος ἱεράρχης Κρήτης, ὑπ' αὐτοῦ τοῦ τῶν ἐθνῶν Μεγάλου Ἀποστόλου Παύλου ἐγκατασταθείς. Καλεῖ αὐτὸν ἀπελθεῖν εἰς Νικόπολιν ἔνθα ἐσκόπει διαχειμάσαι. Μετέβη δὲ καὶ εἰς Δαλματίαν, ἀλλὰ πόθεν ἄδηλον.

Ταῦτα ἐκ τῶν ἐπιστολῶν Παύλου περὶ Τίτου ἡμῖν τὰ γνωστά. Τὰ δὲ



ἑξῆς ὀκνεῖ μὲν εἰπεῖν ὁ λόγος, ἅτε τὴν ἡμετέραν διαφεύγοντα γνῶσιν, καὶ κρείττονα τάχα τῆς πολλῶν ὑπολήψεως ὄντα.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἐπανόδου τοῦ Λειψάνου τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου Βαρθολομαίου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Πατέρων ἡμῶν Μηνᾶ, Ἐπιφανίου, Γενναδίου καὶ Ἰωάννου ἀρχιεπισκόπων Κωνσταντινουπόλεως.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν Κρήτῃ Ἐκκλησία μνημόσυνα τελεῖ τῶν τε κατὰ τὴν ἡμέραν ταύτην τοῦ 1898 ἐν Ἡρακλείῳ ὑστάτων σφαγίων τῶν σφαττομένων «διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον» καὶ πάντων τῶν κατὰ διαφόρους καιροὺς ἐπὶ τῆς νήσου, ἐν βασάνοις καὶ διωγμοῖς, ἐν θλίψεσι καὶ κακώσεσι εἰς τὴν ἄληκτον μεταστάντων ζωὴν βιαίῳ θανάτῳ ὑπὸ τῶν τυραννούντων τῆς ἡμετέρας πατρίδος παραδοθέντων οἷς αἰωνίαν ἀνάπαυσιν δῴη ὁ Κύριος ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Μίαν Θεότητα ὑμνεῖν, μίαν κυριότητα σέβειν, Τίτος διδάσκων τοὺς βροτοὺς πολυθέου μανίας ἀπήλλαξεν, εὐσεβῶς ἀνακράζοντας. Ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Νενεκρωμένῃ τῇ ψυχῇ, ἄψυχον οἱ σέβοντες ὕλην, τὸν νεκρωθέντα δι' ἡμᾶς ζωοδότην Θεὸν κατενόησαν, ὑπὸ σοῦ παιδευόμενοι, Μαθητὰ καὶ μυστολέκτα τῶν ἀπορρήτων.

Ὡς ἀληθείας ὑπουργός, ψεύδους καθαιρέτης ἐφάνης, καὶ ὡς τοῦ Παύλου μαθητής, διωγμοὺς καὶ κινδύνους ὑπέμεινας, σὺν αὐτῷ μέλπων ἔνδοξε. Ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Πεποικιλμένη ἀρεταῖς, τοῦ Παμβασιλέως παρέστης, ἐκ δεξιῶν τοῦ ἐκ τῶν σῶν, σαρκωθέντος αἱμάτων Ἀνύμφευτε, ἐκτενῶς ἱκετεύουσα, λυτρωθῆναι ἀπὸ πάσης ἡμᾶς ἀνάγκης.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καταβασία. Οὐκ ἐλάτρευσαν

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ρανίσιν αἱμάτων σου ἐσβέσθη, τὸ πῦρ τῆς ἀπάτης τὸ ἀλλότριον· νόσοι ἐδιώχθησαν, δαίμονες ἠλάθησαν, τῇ πρὸς Θεὸν δεήσει σου, Τίτε Ἀπόστολε· διό σε ὡς θεράποντα θεῖον, τοῦ παμβασιλέως Χριστοῦ ἀνευφημοῦμεν.

Ὅλως τῷ Θεῷ ἱερωμένος, καὶ θείαις ἠγλαϊσμένος Τίτε χάρισι, Λόγον τὸν σωτήριον, πᾶσι διετράνωσας, τὸν ἀλογίας πάνσοφε ἡμᾶς ρυσάμενον, τοὺς πίστει ἀληθεῖ εὐλογοῦντας, καὶ ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Φωτὸς καθαρώτατον δοχεῖον, ἐγένου καταφωτίσας τὴν ὑφήλιον, θείοις ἀμαρύγμασι, Τίτε ἀξιάγαστε· καὶ ἀμαυρώσας ἔνστασιν παρανομούντων ἐχθρῶν, τὸν Κύριον ὑμνεῖτε ἐβόας, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ρομφαία ἡ πάλαι στρεφομένη, τὰ νῶτα Παρθένε νῦν μοι δίδωσι, Λόγον ὅτι ἔτεκες σάρκα περικείμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι κατανοούμενον ὃν τρέμουσιν ἀγγέλων αἱ τάξεις, καὶ δοξολογοῦσι βροτοὶ εἰς τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὅλην σου τὴν πρὸς τὸν Λυτρωτὴν ἀγάμενος καὶ ἀγάπην καὶ πεποίθησιν, ἕλκει συνέκδημον ὁ Παῦλος, σὺν σοὶ τὸ ἱερὸν Εὐαγγέλιον. τοῖς ἔθνεσι κηρύττων Ἀπόστολε· ὅθεν σὺν τούτῳ σε γεραίρομεν.

Νόσους ἐκδιώκεις τῶν πιστῶν, δαιμόνια ἀπελαύνεις θείᾳ χάριτι, Κρήτης ὁ μέγας πολιοῦχος, πρωτόθρονός τε ταύτης ὁ ἔνθεος, φωστὴρ ὁ διαυγὴς καὶ οὐράνιος, Τίτε θεόφρον ἀξιάγαστε.



Ὡς ἥλιος ἔλαμψεν ἡμῖν ἡ μνήμη σου, φρυκτωρίαις ταῖς τοῦ Πνεύματος, ὅλη φαιδρῶς ὡραϊσμένη, τὰ νέφη τῶν παθῶν ἐκδιώκουσα, ἣν πίστει τοὺς τελοῦντας διάσωζε, Τίτε παμμάκαρ ἀξιάγαθε.

Θεοτοκίον.

Σειρὰς τῶν πταισμάτων μου Ἁγνὴ διάλυσον, μεσιτείᾳ σου πανάμωμε· λῦσον τὸ σκότος τῆς ψυχῆς μου· τὸν σάλον τῶν παθῶν μου κατεύνασον· τοὺς μάτην πολεμοῦντάς με συνέτισον· καί αἴτησαι πᾶσι τὸ μέγα ἔλεος.

Καταβασία. Ἅπας γηγενὴς

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν

Μύστα τῆς θείας χάριτος καὶ Ἀπόστολε Τίτε, σὺν Παύλῳ τῷ θεόφρονι, πρέσβευε τῇ Τριάδι, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ ἡμῖν τοῖς τελοῦσι, τὴν παναγίαν μνήμην σου, καὶ σὲ πόθῳ τιμῶσι, τῶν δυσχερῶν, καὶ πταισμάτων λύσιν καὶ σωτηρίαν, καὶ δόξαν καὶ λαμπρότητα, οὐρανῶν Βασιλείας.

Θεοτοκίον.

Σὺν πολιούχῳ σήμερον, καὶ Κρητῶν ἱεράρχῃ, σὺν Ἀποστόλων τάγμασιν, ὑπὲρ θυμάτων ἁπάντων, ἃ ἔθυσεν ὁ ἀλάστωρ, καθικέτευε Κόρη, καὶ γὰρ Θεὸς ὃν ἔτεκες, προσεδέξατο τούτους, καὶ δι᾽ αὐτούς, καθελὼν ἐν Κρήτῃ τὴν τυραννίδα, βαρβάρου δορυκτήτορος, ἠλευθέρωσε ταύτην.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τέσσαρα δευτεροῦντες τὸ πρῶτον.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Μίαν τρισυπόστατον, ἀνακηρύττων Θεότητα, τὴν πολύθεον θάλασσαν, Κρητῶν διετάραξας, καὶ γαληνοτάτῳ Τίτε πρὸς λιμένα, τοὺς νηχομένους τῷ βυθῷ, τῆς ἀθεΐας Σὺ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐγκαθώρμισας· ἐντεῦθεν τὴν οὐράνιον, ἀντιμισθίαν ἀπείληφας, δυσωπῶν τὸν φιλάνθρωπον, ὑπὲρ τῶν ἀνυμνούντων Σε.

Θείαις ἀναλάμψεσι, καταυγασθεὶς τὴν διάνοιαν, ὡς ἀκτὶς συμπεπόρευσαι, ἡλίῳ φωτίζοντι, τὰ ἐσκοτισμένα, Παύλῳ θείῳ Τίτε· καὶ σὺν αὐτῷ πᾶσαν τὴν γῆν, τῆς βαθυτάτης νυκτὸς ἀπήλλαξας· διό σε μακαρίζομεν, ὡς Ἱεράρχην θεόληπτον, ὡς Ἀπόστολον ἔνθεον, πρεσβευτὴν ὡς θερμότατον.

Κρήτης ἐξορμώμενος, καὶ ἐν αὐτῇ ἀφικόμενος, ἀρραγὴς ὡς θεμέλιον, ἐν ᾗ ἐστερέωτο, ὀρθοτάτῃ πίστει, τῇ οἰκοδομίᾳ, ἐπῳκοδόμησε πιστούς, τῆς οὐρανίου θείας δυνάμεως, ὁ Τίτος ὁ μακάριος, ὁ τῆς πατρίδος πρωτόθρονος, ὁ τοῦ Παύλου συνέκδημος, καὶ Κρητῶν ἡ παράκλησις.

Δόξα. Ἦχος πλ. β΄.

Τῆς ἐκλογῆς τοῦ σκεύους, Παύλου θεοκήρυκος, φοιτητὴς γενόμενος, καὶ μυηθεὶς τὰ θεῖα παρ᾽ αὐτοῦ διδάγματα, εἰς τὰ ἔθνη πρὸς πίστιν ἀπεστάλης, ἐπιστρέφειν καὶ φωτίζειν, τῇ αἴγλῃ τῶν λόγων Σου· ὅθεν εἰς τὰ πέρατα διέδραμες, Ἀπόστολε Τίτε, εὐαγγελιζόμενος πᾶσι τὸν σαρκωθέντα Θεόν· ὃν καθικέτευε, τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην Σου.

Καὶ νῦν Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Δοξολογία μεγάλη

Εἰς τὴν θείαν λειτουργίαν τὰ διατεταγμένα πάντα. Πρὸ τοῦ Κοντακίου. Προστασία τῶν χριστιανῶν, ψάλλεται ὑπὸ τοῦ ἱερέως τὸ Νεκρώσιμον.

Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν δούλων Σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον, συγχώρησον. Οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ Σὺ ὁ δυνάμενος καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.



**Ὁ Ἀπόστολος**

Προκείμενον Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν

Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ

*Πρὸς Τίτον ἐπιστολῆς, Παύλου τὸ ἀνάγνωσμα.*

Παῦλος δοῦλος Θεοῦ, Ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν. Ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων. Ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ, ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγώ κατ᾽ ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃς καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ὡς ἐγώ σοι διεταξάμην. Εἴ τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ. Ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ. Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς. Οὓς δεῖ ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν. Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· «Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί». Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει. Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

λαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους. Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους. Σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθὰς ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν. Περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν. Λόγον ὑγιῆ ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον. Δούλους ἰδίους δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας. Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ Μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ταῦτα λάλει, καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Μηδείς σου περιφρονείτω. Ὑπομίμνησκε αὐτοὺς



ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι. Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους. Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν. Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου. Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις, μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. Αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ· εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικὸν σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν, ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι, καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἀλληλούϊα· γ'.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. (Ἴδε 6 Σεπτεμβρίου).

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν

Μετὰ πνευμάτων δικαίων, καὶ τὰ λοιπά· καὶ γίνεται δέησις ὑπὲρ τῶν ψυχῶν τῶν ὑπὲρ Χριστοῦ βιαίαν ὑποστάντων μετάστασιν ὡς ἐν τῷ ἑσπερινῷ καὶ

Ἀπόλυσις

# ΤΗι 9ῃ ΔΕΚΕΜΒΡΙΟΥ

*Ἐπετείῳ τῆς ἀφίξεως τῆς Α. Β. Ὑψηλότητος*

ΤΟΥ

## ΠΡΙΓΚΙΠΟΣ ΓΕΩΡΓΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ὑπάτου Ἁρμοστοῦ ἐν Κρήτῃ

## ΤΕΛΟΥΜΕΝ ΔΟΞΟΛΟΓΙΑΝ

*Ἐπὶ τῇ ἐλευθερώσει τῆς ἡμετέρας Πατρίδος.*

---

Περὶ ὥραν 10 π. μ. σημαίνουσιν οἱ κώδωνες. Ὁ ἱερεὺς περιβάλλεται ἐπιτραχήλιον καὶ φαινόλην, καὶ τῇ 10ῃ ὥρᾳ ἀκριβῶς ἀνοιγομένων τῶν ἱερῶν θυρῶν ἵσταται πρὸ τῆς Ἁγίας Τραπέζης θυμιῶν καὶ λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ διάκονος ἢ ὁ ἱερεύς.— Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορὸς εἰς ἑκάστην ἐκφώνησιν ψάλλει ἅπαξ. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης

Ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου

Ὑπὲρ τοῦ Ἁγίου Οἴκου τούτου

Ὑπὲρ τοῦ (Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου)

Ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ θεοφυλάκτου Βασιλόπαιδος ἡγεμόνος ἡμῶν Γεωργίου, τοῦ θεοσεβεστάτου πατρὸς Αὐτοῦ Βασιλέως τῶν Ἑλλήνων Γεωργίου καὶ τῆς εὐσεβεστάτης μητρὸς Αὐτοῦ Βασιλίσσης τῶν Ἑλλήνων Ὄλγας καὶ τῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

εὐσεβεστάτων Βασιλοπαίδων ἀδελφῶν Αὐτοῦ, παντὸς τοῦ Βασιλικοῦ Οἴκου, στόλου καὶ στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς.

Ἀντιλαβοῦ, σῶσον.

Τῆς Παναγίας ἀχράντου

Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις

Ὁ χορὸς εἰς ἦχον πλ. α΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (δ΄.)

Τὸ Ἀπολυτίκιον ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐλευθέρια σήμερον ἑορτάζοντες, χαριστήρια ᾄσματα ἀναμέλψωμεν, τῷ Σωτῆρι Θεῷ, ὅτι ἐρρύσατο τὴν Πατρίδα ἐκ δεινῶν, καθαιρέσας τὸν ἐχθρόν, καὶ δοὺς ἡμῖν ἡγεμόνα, τῶν ποθουμένων μὲν μνῆστρον, αὐτοῦ δ' εἰς δόξαν αἰώνιον.

Δόξα

Τὸ ἀπολυτίκιον τοῦ ναοῦ, ἐν ᾧ τελεῖται ἡ δοξολογία

Καὶ νῦν

Σῶσον Κύριε τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τῷ ἡγεμόνι ἡμῶν, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττον, διὰ τοῦ Σταυροῦ Σου, πολίτευμα.

Ὁ Διάκονος ἢ ὁ ἱερεύς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κ.τ.λ. Καὶ τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν (Ἴδε Λουκᾶ Σαββάτῳ ια΄. ἑβδομάδος· ἀλλ' ὄχι ὁλόκληρον). Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Εἶπεν ὁ Κύριος· Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι ηὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ



ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας· ἀμὴν λεγω ὑμῖν ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

Δόξα σοι Κύριε Δόξα σοι.

Δοξολογία μεγάλη (συντομωτέρα εἰς τὰς πόλεις).

Ἀπολυτίκιον.— Ἐλευθέρια σήμερον ἑορτάζοντες.

Ὁ Διάκονος. Ἐλέησον ἡμᾶς ὁ Θεός.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ θεοφυλάκτου βασιλόπαιδος ἡγεμόνος ἡμῶν κ.λ.π.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ (Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου).

Ὁ Ἱερεύς. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

Ὁ Ἱερεύς. Δόξα σοι Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι.

Ὁ Χορός. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Κύριε ἐλέησον Κύριε ἐλέησον Κύριε ἐλέησον. Εὐλόγησον.

Ὁ Ἱερεύς. Ἀπόλυσιν μικράν.

Ὁ Χορός. Τὸν Πολυχρονισμόν.

Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς τὸν εὐσεβέστατον καὶ θεοφύλακτον βασιλόπαιδα ἡγεμόνα ἡμῶν Γεώργιον, σὺν τῷ θεοσεβεστάτῳ πατρὶ αὐτοῦ Βασιλεῖ τῶν Ἑλλήνων Γεωργίῳ καὶ τῇ εὐσεβεστάτῃ μητρὶ αὐτοῦ Βασιλίσσῃ τῶν Ἑλλήνων Ὄλγᾳ. Κύριε φύλαττε αὐτοὺς εἰς πολλὰ ἔτη, εἰς πολλὰ ἔτη, εἰς πολλὰ ἔτη.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς.

Γεωργίου τοῦ εὐσεβεστάτου καὶ θεοφυλάκτου βασιλόπαιδος ἡγεμόνος ἡμῶν καὶ τοῦ θεοσεβεστάτου πατρὸς αὐτοῦ βασιλέως τῶν Ἑλλήνων Γεωργίου, καὶ τῆς εὐσεβεστάτης μητρὸς αὐτοῦ βασιλισσης τῶν Ἑλλήνων Ὄλγας, καὶ τῶν εὐσεβεστάτων βασιλοπαίδων ἀδελφῶν αὐτοῦ, Πολλὰ τὰ ἔτη.

Ὁ Χορὸς μελῳδικῶς ψάλλει Πολλὰ τὰ ἔτη (τρίς).

Ὁ Διάκονος. Τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, παντὸς τοῦ Χριστεπωνύμου πληρώματος τῆς καθ' ἡμᾶς Κρητικῆς Πολιτείας, τῶν τε ἀρχόντων καὶ ἀρχομένων, καὶ πάντων τῶν ἁπανταχοῦ εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν. Πολλὰ τὰ ἔτη.

Ὁ Χορός. Πολλὰ τὰ ἔτη (τρίς).

Ὁ Διάκονος. Τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους τοῦ τε ἐν τῇ ἐλευθέρᾳ καὶ δουλευούσῃ πατρίδι. Πολλὰ τὰ ἔτη.

Ὁ Χορός. Πολλὰ τὰ ἔτη (τρίς).

Ὁ Διάκονος ἢ ὁ Ἱερεύς Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν.

Ὁ Χορός. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΤΗι 23ῃ ΑΠΡΙΛΙΟΥ

# ΜΝΗΜΗι ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΓΕΩΡΓΙΟΥ

## ΤΕΛΟΥΜΕΝ ΔΟΞΟΛΟΓΙΑΝ

## ΕΠΙ ΤΗι ΟΝΟΜΑΣΤΙΚΗι ΕΟΡΤΗι ΤΗΣ Α. Β. ΥΨ. ΤΟΥ ΗΓΕΜΟΝΟΣ ΗΜΩΝ

Περὶ ὥραν 10ην σημαίνουσιν οἱ κώδωνες καὶ ὁ ἱερεὺς ἐνδεδυμένος τὴν ἱερατικὴν αὐτοῦ στολὴν ὡς ἐν τῇ Δοξολογίᾳ τῆς 9 Δεκεμβρίου.

Ἄρχεται τῇ 10 ὥρᾳ ἀκριβῶς.

Εὐλογητὸς ὁ Θεός. Τὰ εἰρηνικά, ὡς ἐν τῇ ἀνωτέρῳ δοξολογίᾳ.

Ὁ Χορός. Τὸ ἀπολυτίκιον τοῦ Ἁγίου Γεωργίου.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής.

Δόξα. Τὸ ἀπολυτίκιον τῆς Ἐκκλησίας.

Καὶ νῦν. Σῶσον Κύριε τὸν λαόν Σου, ὡς ἐν τῇ ἀνωτέρῳ δοξολογίᾳ.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως

Καὶ τὸ Εὐαγγέλιον·

*Ἐκ τοῦ κατὰ Ματθαῖον Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα*

Τῷ καιρῷ ἐκείνῳ οἱ Φαρισαῖοι ἀποστέλλουσι τῷ Ἰησοῦ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν λέγοντες· Διδάσκαλε οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ

γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπὲ οὖν ἡμῖν. Τί σοι δοκεῖ; Ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· Τί μὲ πειράζετε ὑποκριταί; Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς. Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ. Καίσαρος. Τότε λέγει αὐτοῖς. Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

Ὁ χορὸς Δόξα σοι κύριε. Δόξα σοι.

Καὶ εὐθέως ψάλλει ὁ χορὸς ἐκ τοῦ 71 ψαλμοῦ

Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.

Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός, ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.



Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.

Γένοιτο Γένοιτο.

Ὁ Διάκονος. Ἐλέησον ἡμᾶς.

Ἀπόλυσις.

Πολυχρονισμός.

Καὶ τά. Πολλὰ τὰ ἔτη.—ὡς ἐν τῇ ἑτέρᾳ δοξολογίᾳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ